λέγω δὲ τὰ τοιαῦτα, τά, τε περὶ τὴν τροφὴν, A
καὶ τὴν τῶν ἀφροδισίων χρείαν, καὶ τὰ τοιαῦτα τῶν σωματικῶν, περὶ ἃ τὴν ἀκολασίαν ἔθεμεν καὶ τὴν σωφροσύνην· τὰ δ', ἀναγκαῖα μὲν, οὔ· αἱρετὰ δὲ, καθ' αὑτά. λέγω δὲ, οἷον νίκην, τιμὴν, πλοῦτον, καὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν καὶ ἡδέων· τοὺς μὲν οὖν πρὸς ταῦτα παρὰ τὸν ὀρθὸν λόγον ὑπερβάλλοντας τὸν ἐν αὐτοῖς, ἁπλῶς μὲν οὐ λέγομεν ἀκρατεῖς· B
προστιθέντες δὲ τὸ χρημάτων ἀκρατεῖς, καὶ κέρδους, καὶ τιμῆς, καὶ θυμοῦ· ἁπλῶς δ', οὔ· ὡς ἑτέρους καὶ καθ' ὁμοιότητα λεγομένους· ὥσπερ ἄνθρωπος, ὁ τὰ ὀλύμπια νενικηκώς· ἐκείνῳ γὰρ ὁ κοινὸς λόγος τοῦ ἰδίου μικρῷ διέφερεν. ἀλλ' ὅμως ἕτερος ἦν. σημεῖον δέ· ἡ μὲν γὰρ ἀκρασία ψέγεται, οὐχ ὡς ἁμαρτία μόνον, ἀλλὰ καὶ ὡς κακία τις, ἢ ἁπλῶς C
οὖσα, ἢ κατά τι μέρος· τούτων δ', οὐδείς. τῶν δὲ περὶ τὰς σωματικὰς ἀπολαύσεις, περὶ ἃς λέγομεν τὸν σώφρονα καὶ ἀκόλαστον, ὁ μὴ τῷ προαιρεῖσθαι τῶν τε ἡδέων διώκων τὰς ὑπερβολὰς, καὶ τῶν λυπηρῶν φεύγων, πείνης, καὶ δίψης, καὶ ἀλέας, καὶ ψύχους, καὶ πάντων τῶν περὶ ἁφὴν καὶ γεῦσιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν διάνοιαν, ἀκρατὴς λέγεται, οὐ κατὰ πρόσθεσιν, ὅτι περὶ τάδε, καθάπερ ὀργῆς, ἀλλ' ἁπλῶς μόνον. σημεῖον D
δέ· καὶ γὰρ μαλακοὶ λέγονται περὶ ταύτας· περὶ ἐκείνων δὲ οὐδεμίαν· καὶ διὰ τοῦτ' εἰς ταὐτὸ τὸν ἀκρατῆ καὶ ἀκόλαστον τίθεμεν, καὶ ἐγκρατῆ καὶ σώφρονα, ἀλλ' οὐκ ἐκείνων οὐδένα. διὰ τὸ περὶ τὰς αὐτάς πως ἡδονὰς καὶ λύπας εἶναι· οἱ δ', εἰσὶ μὲν περὶ ταὐτά, ἀλλ' οὐχ ὡσαύτως εἰσίν· ἀλλ', οἱ μὲν, προαιροῦνται· οἱ δ', οὐ προαιροῦνται· διὸ μᾶλλον ἀκόλαστον ἂν εἴποιμεν, ὅστις μηδὲ ἐπιθυμῶν, E
ἢ ἠρέμα, διώκει τὰς ὑπερβολὰς, καὶ φεύγει μετρίας λύπας, ἢ τοῦτον ὅστις διὰ τὸ ἐπιθυμεῖν σφόδρα· τί γὰρ ἂν ἐκεῖνος ποιήσειεν, εἰ προσγένοιτο ἐπιθυμία νεανικὴ, καὶ περὶ τὰς τῶν ἀναγκαίων ἐνδείας λύπη ἰσχυρά. ἐπεὶ δὲ F
τῶν ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν, αἱ μὲν, εἰσὶ τῷ γένει καλῶν καὶ σπουδαίων· τῶν γὰρ ἡδέων ἔνια, φύσει αἱρετά· τὰ δ', ἐναντία τούτων· τὰ δὲ, μεταξὺ, καθάπερ διείλομεν πρότερον· οἷον χρήματα, καὶ κέρδος, καὶ νίκη, καὶ τιμή· πρὸς ἅπαντα δὴ καὶ τὰ τοιαῦτα, καὶ τὰ μεταξὺ, οὐ τῷ πάσχειν καὶ ἐπιθυμεῖν καὶ φιλεῖν ψέγονται, ἀλλὰ τῷ πῶς,

spectant, cuiusmodi sunt alimentum, veneris vsus, ac cætera huiusmodi corporalia, circa quæ temperantiam & intemperantiam constituimus: non necessaria, sed per se eligenda, victoria, honor, diuitiæ, ac reliqua talia, quæ bona sunt & iucunda: eos qui in his præter rectam rationem quæ in ipsis est, absolutè quidem incontinentes non dicimus: sed addentes pecuniarum, lucri, honoris, iræ incontinentes appellamus, & non absolutè, vtpote diuersos, & qui ex similitudine dicantur. Non secus atque ille homo dicebatur qui in Olympiis vicit. illius enim communis ratio à propria parum distabat: sed diuersa tamen erat. Cui rei id signum est, quòd incontinentia, non vt error tantum, sed vt vitium quoddam, quod aut absolutè, aut ex parte aliqua fit, vituperatur: horum autem nemo. sed illorum qui circa corporales fruitiones versantur, circa quas temperantem & intemperantem existere diximus, qui non ex electione, sed præter electionem & consilium excessus & iucundorum sectatur, & molestorum fugit, famis videlicet, sitis, caloris, frigoris, cęterorúmque omnium, quę ad tactum gustatúmque spectant: is non cum additione, quòd circa hæc scilicet fit, verbi causa iræ sed absolutè tantummodo incontinens dicitur, indicio illud est: nam intemperantes circa has, nō circa aliquam ex illis dicuntur. & propterea incontinentem & intemperantem, continentem item & temperantem non ex illis quempiam in eodem constituimus, propterea quòd circa easdem quodammodo voluptates, doloresque eosdem versentur. quanquam hi circa eadem quidem vtrique versantur non tamen eodem modo: illi enim eligunt: hi non eligunt. Vnde magis intemperantem eū diceremus, qui vel nihil, vel leuiter cupiens & excessus sectatur, & dolores mediocres fugit: quàm hunc qui propterea idem facit, quia vehementer cupiditate afficitur. quid enim faceret ille, si aut valida aliqua cupiditas, aut in necessariarum rerum inopia vehemēs dolor incesseret? Quoniam verò ex cupiditatibus & voluptatibus aliæ sunt ex iis, quæ genere sunt honesta ac proba: nam iucundorum nonnulla natura sunt expetenda, alia his contraria, alia media, sicut prius diuisum à nobis est: vt pecuniæ, lucrum, victoria, & honor: in omnibus porrò & talibus, & mediis, non quia afficiuntur, & cupiunt, & amant, vituperantur homines: sed quia quodammodo, afficiuntur,